www.tezaurliturgic.ro

# ἹΕΡᾺ ἈΚΟΛΟΥΘΊΑ
ΤΟΥ͂ ὉΣΊΟΥ ΚΑῚ ΘΕΟΦΌΡΟΥ ΠΑΤΡῸΣ ἩΜΩ͂Ν

# ἈΡΣΕΝΊΟΥ
ΤΟΥ͂ ἘΚ ΦΑΡΆΣΩΝ ΤΗ͂Σ ΚΑΠΠΑΔΟΚΊΑΣ

IC XC
NI KA

ἹΕΡῸΝ ἩΣΥΧΑΣΤΉΡΙΟΝ ΜΟΝΑΖΟΥΣΩ͂Ν
"ΕὐΑΓΓΕΛΙΣΤῊΣ ἸΩΆΝΝΗΣ Ὁ ΘΕΟΛΌΓΟΣ"
ΣΟΥΡΩΤῊ ΘΕΣΣΑΛΟΝΊΚΗΣ
1993

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# Ἱερὰ Ἀκολουθία

τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν

# Ἀρσενίου

τοῦ ἐκ Φαράσων τῆς Καππαδοκίας

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# Ἱερὰ Ἀκολουθία

## τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν

# Ἀρσενίου

## τοῦ ἐκ Φαράσων τῆς Καππαδοκίας

Ψαλλομένη τῇ 10ῃ Νοεμβρίου

**καὶ**

## Παρακλητικὸς Κανών

Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει
ὑπὸ Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

Ἐγκρίσει τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος

Ἱερὸν Ἡσυχαστήριον Μοναζουσῶν
«Εὐαγγελιστὴς Ἰωάννης ὁ Θεολόγος»
Σουρωτὴ Θεσσαλονίκης
1993

www.tezaurliturgic.ro

# ἈΠΟΛΥΤΙΚΙΟΝ

**Ἦχος Γ΄. Θείας πίστεως.**

Βίον ἔνθεον, καλῶς ἀνύσας, σκεῦος τίμιον τοῦ Παρακλήτου, ἀνεδείχθης θεοφόρε Ἀρσένιε, καὶ τῶν θαυμάτων τὴν χάριν δεξάμενος, πᾶσι παρέχεις ταχεῖαν βοήθειαν, Πάτερ Ὅσιε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

# ΚΟΝΤΑΚΙΟΝ

**Ἦχος Δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Καππαδοκίας τὸ νεόφυτον ἄνθος, καὶ ἀρετῶν τὸ πολυτίμητον σκεῦος, ὁ ἱερὸς Ἀρσένιος ὑμνείσθω μοι· οὗτος γὰρ ὡς ἄγγελος, ἐν σαρκὶ βιοτεύσας, σύσκηνος ἐγένετο, τῶν Ἁγίων ἁπάντων, μεθ' ὧν πρεσβεύει πάντοτε Χριστῷ, ἡμῖν διδόναι, πταισμάτων συγχώρησιν.

# ΜΕΓΑΛΥΝΑΡΙΟΝ

Χαίροις τῶν Ὁσίων ὁ κοινωνός, διὰ πολιτείας, καὶ ἀσκήσεως ἱερᾶς· χαίροις Μοναζόντων, καὶ Ἱερέων κλέος, Καππαδοκίας δόξα, Πάτερ Ἀρσένιε.

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΠΡΟΛΕΓΟΜΕΝΑ

Ἂς ἔχη δόξαν ὁ Θεός, ὁ ὁποῖος ηὐδόκησεν, ὅπως εὕρουν ἱερὸν καταφύγιον τὰ πάνσεπτα λείψανα τοῦ νεοφανοῦς ὁσίου Ἀρσενίου τοῦ ἐκ Φαράσων τῆς Καππαδοκίας εἰς τὸ Ἡσυχαστήριον «τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου» κειμένου ἐντὸς τῶν ὁρίων τῆς θεοσώστου Ἱ. Μητροπόλεως ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἐπισκόπου. Ἡ λαμπηδὼν τοῦ ὁσίου τούτου ἀνανεώνει καὶ συνεχίζει τὴν ἁγιασμένην παράδοσιν τῶν Ὁσίων καὶ Δικαίων τῆς Ὀρθοδόξου Ἐκκλησίας μας. Καὶ τοῦτο τὸ θαῦμα εἶναι τὸ πιὸ μεγάλο ἀπὸ ὅλα, διότι προϋποθέτει καὶ τὴν ἀνθρωπίνην σύμπραξιν, ἡ ὁποία τόσον δυσκόλως προσφέρεται. Αὐτὴν τὴν σύμπραξιν ἀπὸ νηπιακῆς ἡλικίας προσέφερεν ὁ νεοφανής μας ὅσιος. Ὁ βίος καὶ ἡ πολιτεία αὐτοῦ γέμει μύρου ἁγιωσύνης. Αὐτὴν τὴν εὐωδίαν ὠσφράνθησαν καὶ ἀλλόθρησκοι καθὼς μαρτυρεῖται εἰς τὸ συναξάριόν του.

Τὸ παράδειγμά του μᾶς λέγει, ὅτι πάντοτε εἶναι δυνατὸν νὰ ἁγιάσουν ἄνθρωποι. Ἀρκεῖ νὰ πιστεύουν καὶ νὰ ἔχουν τὸν Κύριον τύπον καὶ ὑπογραμμὸν ζωῆς. Μᾶς λέγει ἐπίσης, ὅτι ἕνας ἅγιος δὲν εἶναι ἕνα πλάσμα οὐρανόπεμπτον, ἀπρόσιτον καὶ παραμυθένιο. Ἀλλὰ ἕνα πλάσμα σὰν καὶ ἐμᾶς. Ἕνα πλάσμα πάντοτε ἐπίκαιρο, ἀφοῦ πάντοτε ἐπίκαιρη εἶναι ἡ ἀγάπη, ἡ εἰρήνη, ἡ ἀνθρωπιὰ καὶ ἡ συναδέλφωσις τῶν ἀνθρώπων. Ἐπὶ τοῦ σημείου τούτου συμφωνοῦν καὶ οἱ ἄθρησκοι, ἀρκεῖ νὰ εἶναι ἀφανάτιστοι καὶ καλόπιστοι.

www.tezaurliturgic.ro



*Ὅσιε τοῦ Θεοῦ, Σὺ πολὺ καλὰ γνωρίζεις πόσην ἀνάγκη ἔχουμε τῆς θείας Χάριτος διὰ νὰ ἠμπορέσωμεν ὅλοι νὰ σταθοῦμε ὄρθιοι μπροστὰ στὴν ἀποχαλινωμένη κακία καὶ διαφθορὰ τοῦ κόσμου τῶν καιρῶν μας, χωρὶς νὰ δειλιάσουμε. Σὺ γνωρίζεις, πόσην ἀνάγκην ἔχουν οἱ νέοι καὶ νέες μας γιὰ νὰ μὴ παρασυρθοῦν ἀπὸ τὸν ἀφρισμένον χείμαρρον τοῦ κακοῦ καὶ τῆς γοητευτικῆς διαφθορᾶς. Πρέσβευε ἀκαταπαύστως ὑπὲρ ὅλων μας, ὥστε νὰ δράσῃ καὶ εἰς τὴν περίπτωσίν μας ἡ θεία Χάρις, ὅπως ἔδρασεν εἰς τὴν περίπτωσίν Σου καὶ Σὲ ἐμετουσίωσεν Ὅσιον τοῦ Θεοῦ καὶ τοῦ περιουσίου λαοῦ Του.*

*Εὐχόμενος*
*† ὁ Κασσανδρείας Συνέσιος*

www.tezaurliturgic.ro

# Η ΠΑΤΡΙΑΡΧΙΚΗ ΚΑΙ ΣΥΝΟΔΙΚΗ ΠΡΑΞΙΣ ΤΟΥ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΕΙΟΥ ΚΑΤΑΤΑΞΕΩΣ ΕΙΣ ΤΗΝ ΧΟΡΕΙΑΝ ΤΩΝ ΑΓΙΩΝ ΤΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΑΡΣΕΝΙΟΥ ΤΟΥ ΚΑΠΠΑΔΟΚΟΥ

*† ΔΗΜΗΤΡΙΟΣ*
*ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ*
*ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ*
*ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ*

*Ἀριθμ. Πρωτ. 112*

*Τοὺς ἐν τῷ παρόντι βίῳ ὁσιότητι μὲν καὶ ἁγιότητι βίου διαπρέψαντας καὶ ἔργῳ καὶ λόγῳ ἐν τῇ ὑπηρεσίᾳ καὶ ἀγάπῃ πρὸς τὸν πλησίον ἑαυτοὺς καταναλώσαντας, ζῶντας δὲ καὶ μετὰ τὴν ἐκεῖσε ἀποδημίαν σημείοις καὶ θαύμασι παρὰ Θεοῦ μαρτυρηθέντας, ὕμνοις ἐσαεὶ καὶ ἐγκωμίοις ἐν πάσῃ εὐλαβείᾳ τιμᾶν καὶ γεραίρειν ἡ Ἁγία τοῦ Χριστοῦ οἶδεν Ἐκκλησία, καὶ τὴν τούτων πρὸς τὸν Πανάγαθον Θεὸν ἐπικαλεῖσθαι εὐπρόσδεκτον μεσιτείαν, ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ ἰάσεως τῶν ἀσθενούντων.*

*Ἐπειδὴ τοίνυν τοιοῦτος τὸν βίον κατεδείχθη καὶ ὁ ἐκ Φαράσων τῆς Καππαδοκίας ὁρμώμενος ἱερομόναχος Ἀρσένιος, ὁ ἐπικαλούμενος Καππαδόκης, ὅς, τοῖς μοναχοῖς τῆς ἐν Καισαρείᾳ (Ζιντζῆ-Ντερέ) Ἱερᾶς Μονῆς τοῦ Τιμίου Προδρόμου ἐν νεαρᾷ ἡλικίᾳ καταλεγείς, καὶ τὴν τῆς ἱερωσύνης ἐν αὐτῇ δεξάμενος χάριν, εἶτα, τῇ φωνῇ τῆς καλούσης Ἐκκλησίας ἐν ταπεινώσει καρδίας ἀκολουθῶν, ἐθυσίασε τὸν μονήρη καὶ ἀσκητικὸν βίον καὶ ἐπὶ ὁλόκληρον ὑπερπεντηκονταετίαν διῆλθεν ἐν Φαράσοις, ἁγιάζων, διδάσκων καὶ στηρίζων ἐν τῇ πίστει καὶ τῇ πατρῴᾳ εὐσεβείᾳ τὸν τῆς ἀπωτάτης ἐκείνης περιοχῆς ἐμπερίστατον Ὀρθόδοξον λαόν, ὃν καὶ ὑπερογδοηκοντούτης γέρων ἠκολούθησεν ἐν τῇ ἐκ τῆς γενετείρας ἐξόδῳ αὐτοῦ, ἐκδημήσας πρὸς Κύριον*

www.tezaurliturgic.ro



ἐν Κερκύρᾳ τῇ ι΄ Νοεμβρίου τοῦ χιλιοστοῦ ἐννεακοσιοστοῦ εἰκοστοῦ τετάρτου σωτηρίου ἔτους, περὶ ὧν δι' ἀναφορᾶς αὐτοῦ πρὸς τὴν Διαρκῆ Ἱερὰν Σύνοδον τῆς Ἁγιωτάτης Ἐκκλησίας τῆς Ἑλλάδος ὑπέβαλε καὶ ἐβεβαιώσατο ὁ Ἱερώτατος Μητροπολίτης Κασσανδρείας κ. Συνέσιος, συνυποβάλλων καὶ τὴν οὐ μόνον παρὰ τοῖς ἐκ τῆς περιοχῆς Φαράσων χριστιανοῖς, ἀλλὰ καὶ παρὰ τῷ πληρώματι τῆς θεοσώστου αὐτοῦ ἐπαρχίας, καὶ εὐρύτερον, ἀδιάσειστον πλέον ἀποβᾶσαν πεποίθησιν καὶ πίστιν περὶ τῆς ἁγιότητος τοῦ ὁσίου ἀνδρός, καὶ κοινὴν ἐπιθυμίαν καὶ παράκλησιν περὶ κατατάξεως αὐτοῦ ἐν τῇ χορείᾳ τῶν Ἁγίων, ἡ Μετριότης ἡμῶν μετὰ τῶν περὶ ἡμᾶς Ἱερωτάτων Μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καὶ συλλειτουργῶν, ἐκ τοῦ ὑπὸ τῆς Ἐκκλησίας τῆς Ἑλλάδος κατὰ τὰ κρατοῦντα ἡμῖν ἀποσταλέντος φακέλλου, καὶ σχετικῆς ἅμα ἐκθέσεως τῆς παρ' ἡμῖν Κανονικῆς Ἐπιτροπῆς, ἐν βεβαιότητι γνόντες τὸν ἅγιον βίον καὶ τὴν ἁγίαν τελευτὴν τοῦ ὁσίου ἱερομονάχου Ἀρσενίου, τοῦ Καππαδόκου, καὶ Συνοδικῶς διασκεψάμενοι, ἔγνωμεν, τῷ κοινῷ τῆς Ἐκκλησίας ἔθει κατακολουθοῦντες, τὴν προσήκουσαν τοῖς ἱεροῖς ἀνδράσι καὶ τούτῳ ἀπονεῖμαι τιμήν.

Διὸ καὶ θεσπίζομεν Συνοδικῶς καὶ διοριζόμεθα καὶ ἐν Ἁγίῳ διακελευόμεθα Πνεύματι ὅπως ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς εἰς αἰῶνα τὸν ἅπαντα ὁ ὅσιος Ἱερομόναχος Ἀρσένιος, ὁ Καππαδόκης, συναριθμῆται τοῖς ὁσίοις καὶ ἁγίοις τῆς Ἐκκλησίας, τιμώμενος παρὰ τῶν πιστῶν καὶ ὕμνοις ἐγκωμίων γεραιρόμενος τῇ ι΄ τοῦ μηνὸς Νοεμβρίου, ἡμέρᾳ ἐν ᾗ οὗτος ἐκοιμήθη ἐν Κυρίῳ.

Εἰς ἔνδειξιν δὲ τούτου καὶ βεβαίωσιν ἐγένετο καὶ ἡ παροῦσα Πατριαρχικὴ ἡμῶν καὶ Συνοδικὴ Πρᾶξις, καταστρωθεῖσα μὲν καὶ ὑπογραφεῖσα ἐν τῷδε τῷ ἱερῷ Κώδικι τῆς καθ' ἡμᾶς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, ἐν ἴσῳ δὲ καὶ ἀπαραλλάκτῳ ἀποσταλεῖσα τῷ Ἱερωτάτῳ Μητροπολίτῃ Κασσανδρείας κ. Συνεσίῳ πρὸς κατάθεσιν ἐν τοῖς Ἀρχείοις τῆς Ἱερᾶς αὐτοῦ Μητροπόλεως.

Ἐν ἔτει σωτηρίῳ **αϡπϛ'**, κατὰ μῆνα Φεβρουάριον (ια΄),
Ἐπινεμήσεως Θ΄.

† Ὁ Πατριάρχης Κωνσταντινουπόλεως Δημήτριος ἀποφαίνεται

† Ὁ Σάρδεων Μάξιμος
† Ὁ Ροδοπόλεως Ἱερώνυμος
† Ὁ Σταυρουπόλεως Μάξιμος
† Ὁ Μύρων Χρυσόστομος
† Ὁ Κολωνίας Γαβριὴλ
† Ὁ Πέργης Εὐάγγελος
† Ὁ Λύστρων Καλλίνικος
† Ὁ Δέρκων Κωνσταντῖνος
† Ὁ Ἑλενουπόλεως Ἀθανάσιος
† Ὁ Μελιτηνῆς Ἰωακεὶμ
† Ὁ Φιλαδελφείας Βαρθολομαῖος

www.tezaurliturgic.ro

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΡΙΘ. ΠΡΩΤ....1976....
ΔΙΕΚΠ....1844....

ΑΘΗΝΗΣΙ Τῌ 10 Δεκεμβρίου 1986

Πρὸς
Τὴν Ἱερὰν Μητρόπολιν
Κασσανδρείας
Εἰς ΠΟΛΥΓΥΡΟΝ

*Ἐκ Συνοδικῆς ἀποφάσεως, ληφθείσης ἐν τῇ Συνεδρίᾳ τῆς 6-11-1986, καὶ εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθμ. Πρωτ. 343/12-6-1986 ὑμετέρου ἐγγράφου, περὶ ἐγκρίσεως ὑπὸ τῆς Ἱερᾶς Συνόδου: α) Τῆς ᾀσματικῆς ἀκολουθίας τοῦ νεοφανοῦς ὁσίου Ἀρσενίου τοῦ ἐκ Φαράσων, β) τοῦ παρακλητικοῦ κανόνος, καὶ γ) τῆς ἀκολουθίας τῶν 24 οἴκων, ἁπάντων ποιηθέντων ὑπὸ τοῦ Πανοσιολογιωτάτου Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, γνωρίζομεν ὑμῖν, ὅτι, κατόπιν σχετικῆς εἰσηγήσεως τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καὶ Ποιμαντικοῦ Ἔργου, ἐγκρίνεται ἡ ὡς ἄνω Ἱερὰ Ἀκολουθία, ὡς καλῶς ἔχουσα, καθ' ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐτῇ.*

*Ὅθεν, δύνασθε νὰ προβῆτε εἰς τὴν ἔκδοσιν καὶ διάδοσιν τῆς ὡς ἄνω Ἱερᾶς Ἀκολουθίας, πρὸς λειτουργικὴν χρῆσιν καὶ ὠφέλειαν πνευματικὴν τοῦ εὐσεβοῦς ποιμνίου τῆς Ἐκκλησίας ἡμῶν καὶ παρακαλοῦμεν, ὅπως κατὰ τὴν τάξιν ὑποβάλητε ἡμῖν πέντε (5) ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω Ἱερᾶς Ἀκολουθίας διὰ τὸ Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καὶ Ποιμαντικοῦ Ἔργου.*

*Ἐντολῇ τῆς Ἱερᾶς Συνόδου*
*Ὁ Ἀρχιγραμματεύς*

*Ἀρχιμ. Ἰάκωβος Παπαθανασίου - Γκίνης*

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α´. **Πανεύφημοι Μάρτυρες.**

Ὁσίων τῶν πάλαι μιμητής, Ὅσιε Ἀρσένιε, τῇ καθαρᾷ πολιτείᾳ σου, ἐσχάτοις ἔτεσιν, ἀληθῶς ἐδείχθης, καὶ Ἁγίου Πνεύματος, τὴν θείαν εἰσεδέξω ἐνέργειαν· διὸ αἰτοῦμέν σε· Τὸν Σωτῆρα καθικέτευε, ὑπὲρ πάντων, τῶν ἀνευφημούντων σε.

Ἀσκήσει ὁσίων ἀρετῶν, Ὅσιε Ἀρσένιε, τὴν σὴν ψυχὴν κατελάμπρυνας, καὶ πλείστοις θαύμασι, Πάτερ διαπρέψας, πολλοὺς εὐηργέτησας, σωμάτων καὶ ψυχῶν τὰ νοσήματα, τῶν προσιόντων σοι, θεραπεύων θείᾳ χάριτι, ὡς θεράπων, Χριστοῦ ἐνθεώτατος.

www.tezaurliturgic.ro



Ὑψώσας τὸν νοῦν πρὸς τὸν Θεόν, Ὅσιε Ἀρσένιε, παντὸς τοῦ κόσμου ὑπέρτερος, ὤφθης τῷ βίῳ σου, καὶ τῶν οὐρανίων, ἐραστὴς γενόμενος, μετέσχηκας εὐκλείας τῆς κρείττονος, ἀεὶ δεόμενος, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Λειψάνων σου Πάτερ τὴν σορόν, θείαν χάριν βλύζουσαν, ὡς κιβωτὸν ἁγιάσματος, καταπλουτήσαντες, τὴν σεπτήν σου μνήμην, πόθῳ ἑορτάζομεν, Ἀρσένιε Ἀγγέλων ὁμόσκηνε, καὶ ἐκβοῶμέν σοι· Τὴν Μονὴν ταύτην διάσωζε, ἀπὸ πάσης, βλάβης τοῦ ἀλάστορος.

**Δόξα. Ἦχος β΄.**

Τῆς ἐγκρατείας τοῖς πόνοις, ὑποπιάζων τὸ σῶμα, ἐν τῇ καρδίᾳ ἐδέξω, τὴν θείαν ἔλλαμψιν Ὅσιε Πάτερ· καὶ τοῖς πάλαι ἁμιλλώμενος Πατράσιν, ἴσων ἐπάθλων ἔτυχες, Ἀρσένιε μακάριε, ἐχθροῦ πατήσας τὴν ὀφρύν· οὗ τῆς ἀπάτης καὶ ἡμᾶς ἀπάλλαξον, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

**Καὶ νῦν. Θεοτοκίον.**

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Ἀπόστιχα.**

**Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Βίον ἀσκητικόν, ἐν τοῖς ἐσχάτοις χρόνοις, Ἀρσένιε βιώσας, τῆς τῶν Ἀγγέλων δόξης, μετὰ τὸ τέλος ἔτυχες.

www.tezaurliturgic.ro



**Στίχ.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ἄνθος νεοθαλές, ἐκ τῆς Καππαδοκίας, Ἀρσένιε ἀνθήσας, ἡμᾶς εὐωδιάζεις, τοῖς μυστικοῖς χαρίσμασι.

**Στίχ.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Φύλαττε τὴν Μονήν, ταύτην ἐγκαυχωμένην, τοῖς θείοις σου λειψάνοις, Ἀρσένιε τρισμάκαρ, ἐκ πάσης περιστάσεως.

**Δόξα. Τριαδικόν.**

Δέδωκας ὦ Τριάς, τῷ θείῳ Ἀρσενίῳ, ἰσχὺν καὶ θείαν χάριν, δι' ὧν παρέχει πᾶσιν, ἰάματα σωτήρια.

**Καὶ νῦν. Θεοτοκίον.**

Πίστει τῷ σῷ Υἱῷ, Ἀρσένιος ὁ θεῖος, λατρεύων Θεοτόκε, τῆς σῆς κατηξιώθη, εὐνοίας καὶ λαμπρότητος.

**Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.**

www.tezaurliturgic.ro

# ἘΝ ΤΩ͂Ι ΜΕΓΑΛΩ͂Ι ἙΣΠΕΡΙΝΩ͂Ι

Μετὰ τὸν **Προοιμιακόν,** τὸ **Μακάριος ἀνήρ.** Εἰς δὲ τὸ **Κύριε ἐκέκραξα** ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος β΄. **Ὅτε ἐκ τοῦ ξύλου.**

Ὤφθης ὡς ἀστὴρ νεοφανής, ἐκ Καππαδοκίας ἐκλάμψας, ἐσχάτοις ἔτεσιν, Ὅσιε Ἀρσένιε, Ἀγγέλων σύσκηνε, καὶ ἀκτῖσι τοῦ βίου σου, ἡμᾶς καταυγάζεις, λύων τὴν σκοτόμαιναν, παθῶν καὶ θλίψεων. Ὅθεν τὴν ἁγίαν σου μνήμην, ἐν ἀγαλλιάσει καρδίας, Πάτερ ἑορτάζομεν τιμῶντές σε.

Πόνοις ἐγκρατείας τὴν ψυχήν, Πάτερ φρονημάτων γηΐνων, ὡς ἀπεκάθηρας, τότε ταύτην ὄργα-

www.tezaurliturgic.ro



νον, τοῦ θείου Πνεύματος, ἀπετέλεσας Ὅσιε, καὶ θαυμάτων χάριν, ἔβλυσας Ἀρσένιε, εἰς σωτηρίαν πολλῶν· πάθη γὰρ ἰᾶσαι ποικίλα, καὶ δαιμόνων σμήνη διώκεις, ἐκ τῶν εὐλαβῶς προσερχομένων σοι.

Λόγῳ καὶ σοφίᾳ θεϊκῇ, καὶ πνευματικῆς πολιτείας, τοῖς προτερήμασιν, Ὅσιε Ἀρσένιε, κατακοσμούμενος, ἐμφανῶς πᾶσιν ἔδειξας, τῆς θείας ἀγάπης, Πάτερ τὴν λαμπρότητα, καὶ τὰ χαρίσματα· τύπος γὰρ ζωῆς ἐναρέτου, ὤφθης καὶ τῶν θείων Πατέρων, ἀκριβὴς εἰκὼν καὶ ἰσοστάσιος.

Πίστει τοὺς προστρέχοντας εἰς σέ, πάσης ἀσθενείας καὶ βλάβης, θᾶττον ἀπήλλαττες, θείαις σου ἐντεύξεσι, πρὸς τὸν Σωτῆρα Χριστόν, φυτοκόμος δεικνύμενος, ἠθῶν ἐναρέτων, ὡς πᾶσιν αἰδέσιμος, καὶ πλήρης χάριτος, πάντων ἀτακτούντων τὸν βίον, Πάτερ ἐν Κυρίῳ παιδεύων, καὶ καθοδηγῶν θεοπρεπέστατα.

Βίον διανύσας ἱερόν, ἴχνεσι τῶν πάλαι Ὁσίων, βαδίσας ἄριστα, Ὅσιε Ἀρσένιε, ἀπὸ νεότητος, τῶν θαυμάτων ἐπλούτησας, πλουσίαν τὴν χάριν· ὅθεν αἱ προστρέχουσαι, ἐν τοῖς λειψάνοις σου, λύονται δεσμῶν ἀτεκνίας, καὶ μητέρες τέκνων ὁρῶνται, καὶ καρκίνου πάθος θεραπεύεται.

Δόξης ἀπολαύων θεϊκῆς, καὶ ἐν μετοχῇ μακαρίᾳ, Πάτερ θεούμενος, πρέσβευε Ἀρσένιε ὡς συμπαθέστατος, ὑπὲρ ταύτης ἑκάστοτε, τῆς Μάνδρας πλουτούσης, τὰ σεπτά σου λείψανα, ὡς δῶρον ἔνθεον, πᾶσι δὲ τοῖς σὲ εὐφημοῦσιν, αἴτει τῶν πταισμάτων τὴν λύσιν, καὶ παθῶν παντοίων ἀπολύτρωσιν.

www.tezaurliturgic.ro



**Δόξα. Ἦχος πλ. β΄.**

Ἀνατεθεὶς τῷ Κυρίῳ, αὐτῷ ἀμέμπτως ἠκολούθησας, ἀσκητικῇ πολιτείᾳ, Ἀρσένιε Ὅσιε· τὸ γὰρ θεῖον πῦρ δεξάμενος, ὃ βαλεῖν ἐπὶ τῆς γῆς, ἦλθεν ὁ Σωτήρ, ἐμφρόνως τῶν γηΐνων ἀπέστης, καὶ ἔξω κόσμου καὶ σαρκὸς ἐγένου, ζῶν οἷάπερ ἄγγελος· καὶ τῶν θείων δωρεῶν, ταμεῖον γεγονώς, θαυμάτων ὤφθης αὐτουργός, καὶ τύπος ἐναρέτων πράξεων, ἐν τῇ καθ' ἡμᾶς γενεᾷ. Διὸ τῶν πόνων τὰς ἀμοιβὰς δρεπόμενος, μὴ διαλίπῃς πρεσβεύων Πάτερ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν ἁγίαν μνήμην σου.

**Καὶ νῦν. Ὁ αὐτός.**

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος, ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.**

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

(Κεφ. γ΄ 1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς

www.tezaurliturgic.ro



αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
(Κεφ. ε΄ 15)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ

www.tezaurliturgic.ro



ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

(Κεφ. δ΄ 7)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Εἰς τὴν Λιτήν, Ἰδιόμελα.**

**Ἦχος α΄.**

Τῷ φωτὶ τῶν ἀρετῶν, καταλαμπρύνας τὸν νοῦν, ὡς υἱὸς φωτὸς ἐπορεύθης, τὴν τρίβον τῆς ζωῆς, Ἀρσένιε Ὅσιε· ἐν τῷ νόμῳ γὰρ τοῦ Θεοῦ, ἡμέρας καὶ νυκτὸς μελετήσας, τοῦ Ἁγίου Πνεύματος, τοὺς καρποὺς ἐξήνεγκας· δι᾽ ὧν τῶν μὲν πιστῶν τὰς διανοίας εὐφραίνεις, τῆς ἐν Χριστῷ δὲ οἰκειώσεως, τὰς χάριτας

www.tezaurliturgic.ro



ἐκφαίνεις, καὶ πάντας διεγείρεις, βοᾶν τῷ Σωτῆρι· Κύριε δόξα σοι.

### Ἦχος β΄.

Ἀσκητικῶς ἀγωνιζόμενος, ἐν ἐγκρατείᾳ καὶ προσευχῇ καὶ συντόνοις ἀγρυπνίαις, τὴν σάρκα ἐνέκρωσας, Ὅσιε Πάτερ· καὶ θείαις ἀναβάσεσι, Θεῷ ἀναγόμενος, τὴν ζωοποιὸν ἐνέργειαν, περιεβάλου ὡς ἱμάτιον· τοὺς δερματίνους γὰρ χιτῶνας, νουνεχῶς ἀπεξεδύσω· καὶ τῆς ἐν σοὶ σκηνούσης χάριτος, προσεφαπλῶν τὰς δωρεάς, νοσοῦντας θεραπεύεις, καὶ τὴν θείαν χρηστότητα, πᾶσιν ὑποδηλῶν, τῷ Κυρίῳ προσάγεις, τοὺς προσιόντας σοι Ἀρσένιε· διὸ τὴν ἁγίαν σου, μνήμην ἑορτάζομεν.

### Ἦχος γ΄.

Ὡς ἄστρον νεόφωτον, τῇ καθαρωτάτῃ ἀσκήσει σου, ἡμῖν ἀνατέταλκας, θεοφόρε Ἀρσένιε· τῶν γὰρ πάλαι Ὁσίων, ἀναζωγραφήσας τὰς ἀρετάς, τῆς κατ᾽ ἐκείνους δόξης τετύχηκας, καὶ τῶν ἴσων βραβείων, παρὰ Θεοῦ ἠξίωσαι· ὁ γὰρ βίος σου ἄμεμπτος, καὶ ἡ κοίμησις ὁσία, ἐναντίον Κυρίου γέγονεν· ὅτι πάντα τὰ σὰ αὐτῷ ἀνέθου, παρ᾽ οὗ καὶ τὸν στέφανον, τῆς ἀφθαρσίας εἴληφας, πρεσβεύων ἀπαύστως ὑπὲρ τῶν τιμώντων σε.

### Ἦχος δ΄.

Τὴν τοῦ Σωτῆρος νέκρωσιν, ἐνδεδυμένος Πάτερ, ὡς ξένος καὶ πάροικος, ἐπολιτεύσω ἐν κόσμῳ, τῆς σαρκὸς πρόνοιαν μηδόλως ποιούμενος· καὶ τῶν ὑπερκοσμίων ἀγαθῶν, τὴν εἰκόνα προορώμενος, τῆς

www.tezaurliturgic.ro



μελλούσης ζωῆς πᾶσι προφαίνεις τὸν θησαυρόν, ἐν ταπεινώσει ἀνύων τὸν βίον, καὶ πολλῇ ἀκτησίᾳ, καὶ πλούτῳ ἀγάπης. Ἀλλ' ὦ Ἀρσένιε μακάριε, ἀδιαλείπτως πρέσβευε, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

**Δόξα. Ὁ αὐτός.**

Τὸν ἐν Ὁσίοις Ὅσιον, καὶ ἐν Ἁγίοις νεοφανῆ ἀστέρα, Ἀρσένιον τὸν θεῖον, τῶν εὐσεβούντων τὰ συστήματα, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν· δοξασθεὶς γὰρ τῷ Πνεύματι, Καππαδοκῶν τὴν χθόνα ἡγίασεν, ἀσκητικοῖς ἱδρῶσι· καὶ τοὺς πιστοὺς στηρίξας θαυμάτων δυνάμεσι, τὰ ἄνω φρονεῖν καὶ ζητεῖν, πάντας παιδεύει, οἰκείῳ ὑποδείγματι, αἰτούμενος ἡμῖν, πταισμάτων ἄφεσιν, καὶ τὸ θεῖον ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.**

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίροις ὁ ἐν ἐσχάτοις καιροῖς, βίον ἀνύσας ἀληθῶς τὸν ἰσάγγελον, ἀσκήσει συντονωτάτῃ, καὶ ἐγκρατείᾳ πολλῇ, ὡς Χριστοῦ θεράπων ἐνθεώτατος, Ἀρσένιε Ὅσιε, ἀρετῶν ὑποτύπωσις, τῆς ἀπαθείας, θεοκίνητον ὄργανον, σκεῦος εὔχρηστον, ἱερῶν ἀναβάσεων· δένδρον ὃ ἄρτι ἤνεγκε, τοῖς ὄμβροις τῆς χάριτος, καρπὸν ζωῆς αἰωνίου, καὶ γλυκασμὸν τὸν οὐράνιον· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



**Στίχ.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις Καππαδοκίας βλαστός· τῶν ἀπ' αἰῶνος Ἀσκητῶν ἰσοστάσιος· ἀγάπης θείας ταμεῖον, τῆς εὐποιΐας πυρσός· καταπονουμένων ἀνακούφισις· Ἀρσένιε Ὅσιε, ὁ θαυμάτων δυνάμεσι, τοὺς ἐν ἀνάγκαις, καὶ ἐν πόνοις καὶ πάθεσιν, ἰασάμενος, τῇ δοθείσῃ σοι χάριτι. Ὅθεν σὲ μακαρίζομεν, ὁσίως βιώσαντα, καὶ τῶν σεπτῶν σου λειψάνων, περικυκλοῦμεν τὴν λάρνακα, ἀφ' ἧς πᾶσι δίδως, εὐφροσύνην καὶ εἰρήνην, καὶ θεῖον ἔλεος.

**Στίχ.** Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις ὁ θεοφόρος Πατήρ, ὁ ἐνθεώτατος καὶ πλήρης χρηστότητος, δι' ἔργων τῶν ἐναρέτων, ἀναφανεὶς ἐπὶ γῆς, καὶ θαυμάτων χάριν κομισάμενος· πολλοὺς γὰρ ἰάτρευσας, τρυχομένους τοῖς πάθεσι, καὶ δαιμονῶντας, ἐλυτρώσω τῆς μάστιγος, τῇ ἐντεύξει σου, πρὸς Χριστὸν τὸν φιλάνθρωπον· ὅθεν καὶ τὰ ἐσόμενα, προλέγων Ἀρσένιε, πρὸς οὐρανίους σκηνώσεις, χαρμονικῶς ἀνελήλυθας, Χριστὸν ἱκετεύων, ὑπὲρ πάντων τῶν τελούντων, Πάτερ τὴν μνήμην σου.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ἀσκητικοῖς σου σκάμμασι, τοῦ Παρακλήτου τὸ φῶς δεξάμενος, ὡς ἑωσφόρος νεόφωτος, ἡμῖν ὤφθης Ἀρσένιε· ὑπεράνω γὰρ φθαρτῶν, ἐν σαρκὶ ἐδείχθης, ἀγάπῃ θείᾳ πτερούμενος· καὶ τὸν ἐν ἁγίοις Ἅγιον, ἁγιοπρεπῶς δοξάσας, μετὰ Ἁγίων συνηριθμήθης, καὶ τῆς ζωῆς τῷ ξύλῳ ἀποκατέστης. Καὶ νῦν τὴν δόξαν θεωρῶν, τοῦ Βασιλέως Χριστοῦ, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

www.tezaurliturgic.ro



**Καὶ νῦν. Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τῶν Ὁσίων τὸν βίον ἐκμιμησάμενος, ἐν ἐσχάτοις τοῖς χρόνοις Πάτερ Ἀρσένιε, ἐπληρώθης δωρεῶν τοῦ θείου Πνεύματος, καὶ θαυμάτων γεγονὼς, θεοφόρε αὐτουργὸς, παρέχεις ἑνὶ ἑκάστῳ, τὰς ἐκ Θεοῦ χορηγίας, ταῖς ἱκεσίαις σου πρὸς Κύριον.

**Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.**

Βίον ἔνθεον, καλῶς ἀνύσας, σκεῦος τίμιον τοῦ Παρακλήτου, ἀνεδείχθης θεοφόρε Ἀρσένιε, καὶ τῶν θαυμάτων τὴν χάριν δεξάμενος, πᾶσι παρέχεις ταχεῖαν βοήθειαν, Πάτερ Ὅσιε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Θεοτοκίον.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

**Ἀπόλυσις.**

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.**
**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Ἀνέτειλας ἡμῖν, ὡς νεόφωτον ἄστρον, ἀσκήσει ἀρετῶν, καὶ ὁσίων καμάτων, Ἀρσένιε μακάριε, καὶ λαμπρύνεις ἑκάστοτε, τὰς ψυχὰς ἡμῶν, ταῖς νοηταῖς φωταυγείαις· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, φαιδρῶς ἑορτάζομεν.

**Θεοτοκίον.**

Θεὸν ὑπερφυῶς, συλλαβοῦσα Παρθένε, καὶ τέξασα σαρκί, εἰς ἡμῶν σωτηρίαν, τῆς Εὔας τὸ κατάκριμα, τῷ σῷ τόκῳ διέλυσας· ὅθεν λῦσόν μου, τοὺς τῶν πταισμάτων συνδέσμους, καὶ μετάνοιαν, εἰλικρινῆ μοι παράσχου, ὡς Μήτηρ τοῦ Κτίστου μου.

www.tezaurliturgic.ro



### Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
### Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁσίων τοῖς ἴχνεσιν, ἀκολουθήσας θερμῶς, ἀσκήσει διέλαμψας, καὶ ἀρετῶν τῷ φωτί, Ἀρσένιε Ὅσιε· Ὅθεν Καππαδοκία, ἐν σοὶ Πάτερ καυχᾶται, πᾶσα δὲ σὲ γεραίρει, ἡ Χριστοῦ Ἐκκλησία, ἣν φύλαττε πρεσβείαις σου, ἀπαύστως ἀκλόνητον.

### Θεοτοκίον.

Χριστὸν ὡς ἐκύησας, τὸν ἐπὶ πάντων Θεόν, ἐρρύσω τὸν ἄνθρωπον, ἐκ τῆς ἀρχαίας ἀρᾶς, Παρθένε Πανάχραντε· ὅθεν σε ὡς αἰτίαν, σωτηρίας ὑμνοῦμεν, ἅμα δὲ καὶ κρηπίδα, τῆς ἐλπίδος βεβαίαν. Ἀλλ᾽ ὦ Θεογεννῆτορ, δίδου ἡμῖν τὰ κρείττονα.

### Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
### Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐξ Ἑῴας ὡς ἥλιος νοητός, ἐν ἐσχάταις ἡμέραις ἀναφανείς, ἀκτῖσι τοῦ βίου σου, καὶ τῷ φέγγει τῆς χάριτος, τὴν τῶν παθῶν σκεδάζεις, ὁμίχλην ἑκάστοτε, καὶ πάντας διεγείρεις, πρὸς θείαν ἀγάπησιν· ὅθεν ἀφθαρσίας, δεδεγμένος τὸ γέρας, φθορᾶς πάσης λύτρωσαι, τοὺς ἐκ πόθου τιμῶντάς σε, θεοφόρε Ἀρσένιε, πρεσβεύων ἐκτενῶς τῷ Χριστῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐλαβῶς προσιοῦσι, τοῖς θείοις λειψάνοις σου.

### Θεοτοκίον.

Τὸν Δεσπότην τῶν ὅλων καὶ Ποιητήν, συλλαβοῦσα ἀφράστως ἐν σῇ γαστρί, αὐτὸν ἀπεκύησας, Θεὸν ἅμα καὶ ἄνθρωπον, ἀτρέπτως ἀσυγχύτως, δι᾽

www.tezaurliturgic.ro



ἔλεος ἄπειρον, λυτρούμενον τὸν κόσμον, τῆς πάλαι κακώσεως. Ὅθεν σε ὑμνοῦμεν, ἀσιγήτοις ἐν ὕμνοις, καὶ πίστει δοξάζομεν τὸν ἀπόρρητον τόκον σου, Θεοτόκε Πανύμνητε. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐλαβῶς προσιοῦσιν, ἀεὶ τῇ πρεσβείᾳ σου.

**Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**

**Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.**

Στίχ. **Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...**

**Εὐαγγέλιον τὸ τοῦ Ἁγίου Σάββα.**

**Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

Στίχ. **Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...**

Θεοφόρε Ἀρσένιε, τὴν στενὴν καὶ τεθλιμμένην τρίβον βαδίσας, τὰς τοῦ ἐχθροῦ ἀτάκτους πορείας, τῶν ἀρετῶν τῷ πλάτει ἐστένωσας· καὶ πρὸς πλάτος Παραδείσου σκηνώσας, τῶν αἰωνίων ἀγαθῶν κληρονόμος γέγονας, τὰ ὑπὲρ λόγον ὁρῶν καὶ ἀπολαύων. Διό σου δεόμεθα· μὴ παύσῃ πρεσβεύων Πάτερ, τυχεῖν καὶ ἡμᾶς τῆς αἰωνίου μακαριότητος.

Ὁ Ἱερεύς. **Σῶσον ὁ Θεὸς τὸν λαόν σου...**

**Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου, καὶ τοῦ Ὁσίου φέρων τήν δε ἀκροστιχίδα.**

**«Τοὺς Ἀρσενίου ἀγῶνας μέλπω. Γερασίμου».**

**Ἁρματηλάτην Φαραώ.**

Τῆς Τρισηλίου καὶ μιᾶς Θεότητος, τὸ φῶς δεχόμενος, λῦσον τοῦ νοός μου Πάτερ τὴν σκοτόμαιναν, πρεσβείαις σου Ἀρσένιε, ὅπως μέλψω ἀξίως, τὰς

www.tezaurliturgic.ro



ἀρετὰς καὶ τὰ θαύματα, τῆς ἀσκητικῆς πολιτείας σου.

Ὅλον τὸν πόθον τῆς ψυχῆς Ἀρσένιε, ἀπεριτρέπτῳ νοΐ, πρὸς τὸν πάντων Κτίστην καὶ Θεὸν ἀνέτεινας· ἐντεῦθεν πεπολίτευσαι, ὥσπερ ἄσαρκος Πάτερ, σαρκὸς μισήσας εὐπάθειαν, ὡς τῶν ὑπὲρ νοῦν ἐφιέμενος.

Ὑποπιάζων πόνοις τῆς ἀσκήσεως, Πάτερ τὸ σῶμά σου, καὶ παθῶν νεκρώσας, πάντα τὰ κινήματα, τὴν σὴν ψυχὴν ἐτέλεσας, ἀπαθείας δοχεῖον, καὶ τῶν θαυμάτων εἰσδέδεξαι, ἐκ Θεοῦ τὴν χάριν Ἀρσένιε.

### Θεοτοκίον

Σωματοφόρον τὸν πρὶν Λόγον ἄσαρκον, Πατρὸς καὶ σύνθρονον, μὴ τραπέντα φύσιν, τὴν οἰκείαν Ἄχραντε, ἀνερμηνεύτως τέτοκας, διὰ σπλάγχνα ἐλέους, πρὸς τὸ ἀρχαῖον ἀξίωμα, κόσμου ἐκ φθορᾶς ἐπανάγοντα.

### Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἄρας ἐπ᾽ ὤμων τὸν Σταυρόν, τοῖς ἴχνεσι τοῦ Σωτῆρος, ἐπορεύθης ἀκλινεῖ διανοίᾳ, τὰ ἐν κόσμῳ ὡς φθαρτά, καταλιπὼν Ἀρσένιε, καὶ πρὸς τὴν ἀφθαρσίαν μετὰ σπουδῆς ἐπειγόμενος.

Ῥήσεις τὰς θείας ἐκπληρῶν, Εὐαγγελίου θεόφρον, συμπαθῶς τοὺς ἀσθενοῦντας ἴασαι, καὶ τοῖς πάσχουσι δεινῶς, παρέχεις ἀνακούφισιν, λόγῳ καὶ ἔργῳ Πάτερ, ὡς μαθητὴς Χριστοῦ γνήσιος.

Συντονωτάταις προσευχαῖς, καὶ ἀγρυπνίαις καὶ πόνοις, ἐγκρατείας θεοφόρε ἐκλάμψας, τῶν ἀ-

www.tezaurliturgic.ro



φρόνων παιδευτής, καὶ ἅπασιν αἰδέσιμος, Ἀρσένιε ἐδείχθης, δι' ἀρετῆς τελειότητα.

### Θεοτοκίον.

Ἐκ τῆς ἀχράντου σου γαστρός, ὁ Ὑπερούσιος Λόγος, προσλαβὼν τὴν τῶν ἀνθρώπων οὐσίαν, διὰ σπλάγχνα οἰκτιρμῶν, ἐθέωσε τὸν ἄνθρωπον, Παρθένε Θεοτόκε, πάντων βροτῶν τὸ διάσωσμα.

### Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Θείῳ ἔρωτι, λελαμπρυσμένος, ἔργοις ἔλαμψας, τῆς ἐγκρατείας, καὶ ἐχθροῦ τὰς μεθοδείας ἠμαύρωσας, καὶ τῶν Πατέρων τῶν πάλαι Ἀρσένιε, τὴν πολιτείαν ἀρτίως ἐζήλωσας· μεθ' ὧν πρέσβευε, Κυρίῳ τῷ σὲ δοξάσαντι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

### Θεοτοκίον.

Θείῳ Πνεύματι, πάλαι προεῖδε, θεῖον ὄρος σε, ὁ ὑποφήτης, ἀρεταῖς πεποικιλμένον καὶ χάρισι· ἐκ σοῦ Θεὸς γὰρ προῆλθε Πανάχραντε, καὶ ἀπολλύμενον κόσμον διέσωσεν· ὃν ἱκέτευε, διδόναι ἡμῖν Πανύμνητε, πταισμάτων ἱλασμὸν καὶ θεῖον ἔλεος.

### Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Νόμῳ Θεοῦ, πάντα ρυθμίζων τὸν βίον σου, ὡς ἐργάτης ἀρετῆς πανάριστος, πλήρης ἐγένου θείου φωτός, καὶ μελλόντων γνῶσιν, πλουτήσας Πάτερ Ἀρσένιε, προέβλεψας τὰ πόρρω, ὡς παρόντα θεόφρον, προμηνύων σαφῶς τὰ ἐσόμενα.

Ἰλὺν παθῶν, ἀποτινάξας Ἀρσένιε, καὶ καθάρας, ψυχὴν καὶ τὸ σῶμά σου ρείθροις δακρύων καὶ

www.tezaurliturgic.ro



προσευχαῖς, ἀπαθείας ὤφθης, λειμὼν μυρίπνοος Ὅσιε, ὀσμὴν ζωῆς παρέχων, καὶ ὀσμὴν ἀποτρέπων, βουλευμάτων κακίστων ἑκάστοτε.

Ὅλον τὸν νοῦν, πρὸς τὸν Χριστὸν ἔχων Ὅσιε, ὅλος ὤφθης, θεῖον ἐνδιαίτημα, καὶ τῶν θαυμάτων τὴν δωρεάν, λαβὼν οὐρανόθεν, εὐεργετεῖς τοὺς προστρέχοντας, τῇ χάριτί σου Πάτερ, καὶ παρέχεις ἑκάστῳ, σωτηρίαν ψυχῆς τε καὶ σώματος.

**Θεοτοκίον.**

Ὕδωρ ζωῆς, οἷα πηγὴ χαριτόβρυτε, οὐρανίους, οἰκτιρμοὺς Πανάμωμε, βλῦσον ψυχῇ μου τῇ ταπεινῇ, καὶ τὴν φλόγα σβέσον, παθῶν Ἁγνὴ τῶν θλιβόντων με, καὶ δίδου μοι Παρθένε, ἀφορμὰς μετανοίας, λογισμῶν ἐμπαθῶν με καθαίρουσα.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω;**

Ἀσκητῶν τῶν ἀρχαίων, Ὅσιε Ἀρσένιε ὤφθης ὁμότροπος, τὴν αὐτῶν ζηλώσας, ἀρετὴν καὶ ζωὴν τὴν ἰσάγγελον, ἐν ἐσχάτοις χρόνοις· διὸ Χριστὸς αὐτῶν τῆς δόξης, ἰσοστάσιον Πάτερ σε ἔδειξε.

Γεωργῶν τῷ σῷ λόγῳ, τὰς κεχερσωμένας καρδίας Ἀρσένιε, ταύτας ἐκκαθαίρεις, ἀκανθῶν καὶ τριβόλων τοῦ ὄφεως, καὶ παρασκευάζεις, καλλιεργεῖν τῆς εὐσεβείας, τὰ ὡραῖα φυτὰ καὶ ἀθάνατα.

Ὡς βλαστὸν εὐθαλῆ σε, καὶ ὡς δένδρον πάγκαρπον θείας ἀσκήσεως, ἡ Καππαδοκία, μακαρίζει Ἀρσένιε Ὅσιε, δεξαμένη Πάτερ, τοὺς σοὺς ἱδρῶτας καὶ τοὺς πόνους, καὶ καυχᾶται τοῖς θείοις σπαργάνοις σου.

www.tezaurliturgic.ro



**Θεοτοκίον.**

Νεκρωθεὶς τῇ κακίᾳ, τῇ ζωοποιῷ σου πρεσβείᾳ προσέδραμον, καὶ θερμῶς βοῶ σοι· ἡ ζωὴν τὴν ἀθάνατον τέξασα, ζωοποίησόν με, Εὐλογημένη Θεοτόκε, καὶ πρὸς τρίβους εὐθείας με ἴθυνον.

**Ὠδὴ στʹ. Ἱλάσθητί μοι Σωτήρ.**

Ἀνέτειλας ὡς ἀστήρ, ἐκ τῆς Ἑῴας νεόφωτος, καταπυρσεύων ἡμᾶς, ἀκτῖσι τοῦ βίου σου, Ἀρσένιε Ὅσιε καὶ διασκεδάζων, παθημάτων τὴν σκοτόμαιναν.

Συνέσει πνευματικῇ, κατακοσμούμενος Ὅσιε, καθαίρεις ῥύπους ψυχῶν, τῷ λόγῳ τῆς χάριτος, καὶ πᾶσιν Ἀρσένιε, τοῦ Χριστοῦ προφαίνεις, τὴν ἀμέτρητον χρηστότητα.

Μεγάλοις ἐγκαρτερῶν, ἀγῶσι Πάτερ Ἀρσένιε, ἐδείχθης περιφανής, ἐναρέτοις πράξεσι, εὐεργετῶν θαύμασι, καὶ ποικίλοις τρόποις, τοὺς πιστῶς προσερχομένους σοι.

**Θεοτοκίον.**

Ἐτέχθη ὑπερφυῶς, ἐκ τῶν ἀχράντων αἱμάτων σου, ὁ πάντα ἐκ μηδενός, Κόρη συστησάμενος, καὶ ἡμᾶς ἀνέπλασε, καὶ πρὸς τὴν ἀρχαίαν, ἐπανήγαγε λαμπρότητα.

**Κοντάκιον.**

**Ἦχος δʹ. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Καππαδοκίας τὸ νεόφυτον ἄνθος, καὶ ἀρετῶν τὸ πολυτίμητον σκεῦος, ὁ ἱερὸς Ἀρσένιος ὑμνεί-

www.tezaurliturgic.ro



σθω μοι· οὗτος γὰρ ὡς ἄγγελος, ἐν σαρκὶ βιοτεύσας, σύσκηνος ἐγένετο, τῶν Ἁγίων ἁπάντων, μεθ' ὧν πρεσβεύει πάντοτε Χριστῷ, ἡμῖν διδόναι, πταισμάτων συγχώρησιν.

## Ὁ Οἶκος.

Ὅλον τὸν πόθον τῆς ψυχῆς, καὶ τὰς κινήσεις Πάτερ, ἀνατιθέμενος Χριστῷ, κατηκολούθησας αὐτῷ, ἀμέμπτῳ πολιτείᾳ· καὶ τῆς φωνῆς αὐτοῦ πληρωτὴς γενόμενος, σάρκα ἐνέκρωσας ἀσκητικοῖς ἀγῶσι, τὴν δὲ ψυχὴν ἐλάμπρυνας, τῆς ἀπαθείας τῇ αἴγλῃ, καὶ θείαις ἀναβάσεσι, καὶ μετοχαῖς ἀΰλοις· καὶ τῶν πάλαι Ὁσίων τοὺς τρόπους ζηλώσας, τῆς εὐκληρίας καὶ χάριτος αὐτῶν κατηξιώθης· τῆς ἐνεργείας γὰρ τοῦ Πνεύματος δοχεῖον ὤφθης φαεινόν, καὶ πλείστοις θαύμασι πολλούς, κακώσεων ἐξαίρεις· ὁ Σωτὴρ γὰρ ὃν ἐδόξασας, λαμπρῶς σε ἀντεδόξασεν Ἀρσένιε Ὅσιε· ὃν ἀεὶ δυσώπει, ἡμῖν διδόναι πταισμάτων συγχώρησιν.

## Συναξάριον.

**Τῇ ι΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἀρσενίου τοῦ Καππαδόκου, κοιμηθέντος ἐν ἔτει ͵αϡκδ΄ (1924).**

Στίχ. **Ἀσκήσει Ἀρσένιε Χριστὸν δοξάσας**
**Δόξης κατηξίωσαι τῆς ὑπὲρ λόγον.**
**Δεκάτῃ Ἀρσενίοιο νόες γῆθεν ἄειραν ἦτορ.**

Οὗτος ὁ μακάριος καὶ νεοφανὴς ἐν Ἁγίοις Πατράσιν, ὥρμητο ἐξ Ἀνατολῆς, γεννηθεὶς ἐκ γονέων εὐσεβῶν, Ἐλευθερίου καὶ Βαρβάρας τὴν κλῆσιν, ἐν ἔτει χιλιοστῷ ὀκτακοσιοστῷ τεσσαρακοστῷ, ἔν τινι χωρίῳ ἐγγὺς τῆς Καισαρείας, Φάρασα κοινῶς λεγομένῳ.

www.tezaurliturgic.ro



Κάτοχος γενόμενος τῆς ἐγκυκλίου παιδείας, καὶ ἀγαπήσας ἐξ ὅλης ψυχῆς καὶ καρδίας τὸν Κύριον, ἠκολούθησεν αὐτῷ, φθάσας τὸ εἰκοστὸν ἕκτον ἔτος τῆς ἑαυτοῦ ἡλικίας. Περιβληθεὶς τὸ σχῆμα τῶν Μοναχῶν ἐν τῇ ἐκεῖσε Μονῇ τοῦ Τιμίου Προδρόμου, ἔλαβε τὸ ὄνομα Ἀρσένιος, ἀντὶ Θεοδώρου, οὗ πρότερον ἐκαλεῖτο· ἔνθεν συντονωτάτῃ ὑποβέβληται ἀσκήσει, νηστείαις καὶ ἀγρυπνίαις καὶ δάκρυσι καὶ ἀεννάοις προσευχαῖς σχολάζων, καὶ κατατήκων τὴν σάρκα, καὶ μυστικαῖς θεωρίαις καὶ θείαις ἐλλάμψεσι λαμπρύνων τὴν ἑαυτοῦ ψυχήν. Ὅθεν ὁ Κύριος, ἀμειβόμενος τοὺς κόπους αὐτοῦ, δέδωκεν αὐτῷ πλουσίαν τὴν χάριν τῶν θαυμάτων· πολλοὺς γὰρ ἀσθενοῦντας ἰάσατο, καὶ δαιμονῶντας τῆς μάστιγος ἐρρύσατο, πιστοῖς καὶ ἀπίστοις προσεφαπλῶν τῆς εὐεργεσίας τὸν πλοῦτον. Καὶ ἐν Σιὼν ἱερουργῶν σὺν ἄλλοις ἱερεῦσιν (εἶχε γὰρ λαβὼν τὸ τῆς ἱερωσύνης χάρισμα), ἔλαμψε τὸ πρόσωπον αὐτοῦ, διαδοθείσης ἐν αὐτῷ τῆς ἔνδοθεν αὐτοῦ χάριτος καὶ λαμπρότητος.

Ὁσίως καὶ ἀμέμπτως διανύων τὴν ζωήν, καὶ περιφανὴς καὶ αἰδέσιμος ταῖς κατ' ἀρετὴν προκοπαῖς καὶ ἐπιδόσεσι γεγονώς, παρεγένετο ἐν Ἑλλάδι σὺν πᾶσι τοῖς ἐν Μικρᾷ Ἀσίᾳ Χριστιανοῖς, ἐν ἔτει, ͵αϡκδ' (1924) κατὰ μῆνα Αὔγουστον, ἀνταλλαγῆς καὶ μετοικεσίας γενομένης, καὶ ἐγκατεστάθη ἐν τῇ νήσῳ Κερκύρᾳ, ἔνθα μετὰ τεσσαράκοντα ἡμέρας, μικρὸν νοσήσας, καὶ προειπὼν τὸν ἑαυτοῦ θάνατον, μετέστη πρὸς τὰς οὐρανίους καὶ αἰωνίους μονάς, τὸ ὀγδοηκοστὸν καὶ τρίτον ἄγων τῆς ἡλικίας ἔτος, τῇ ι' Νοεμβρίου μηνός, τοῦ σωτηρίου ἔτους ͵αϡκδ' (1924).

Παρεληλυθότων δὲ τριάκοντα καὶ τεσσάρων ἐτῶν, ἐγένετο ἡ ἀνακομιδὴ τῶν τιμίων αὐτοῦ λειψάνων, ἅτινα καὶ κατετέθησαν ἐν τῇ Γυναικείᾳ Ἱερᾷ Μονῇ τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου, τῇ οὔσῃ ἐγγὺς τῆς Σουρωτῆς Θεσσαλονίκης.

www.tezaurliturgic.ro



Ἦν δὲ ὁ Ὅσιος κατὰ τὸν τύπον τοῦ σώματος, τῇ ἡλικίᾳ εἰς ὕψος ἐκτεινόμενος· τῇ ὄψει ἰσχνός, τῇ συντόνῳ ἀσκήσει· εἶχε τρίχωμα δασύ, ὡσαύτως καὶ ὀφρῦς, τὴν δὲ γενειάδα καθικνουμένην ἄχρι τοῦ στήθους· ὀφθαλμοὺς μεγάλους, καὶ μέτωπον εὐρύ, τοῖς δὲ τρόποις ἦν σύννους καὶ αὐστηρός, οἱονεὶ «ὁρῶν τὸν ἀόρατον» κατὰ τὸν θεῖον Παῦλον.

Ταῖς αὐτοῦ πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.**

Λάμπων ἀκτῖσιν ἀπαθείας, εὐπροσήγορος πιστοῖς καὶ ἀπίστοις, ὡς θεράπων Χριστοῦ, Ἀρσένιε ἐφαίνου, καιρῷ ἰδίῳ ἕκαστον, θεραπεύων κατὰ λόγον.

Πόνοις ἀσκήσεως ἀμέτροις, πρὸς τὴν ἄπονον ζωὴν νῦν μετετέθης, πάντα πόνον ἡμῶν, κουφίζων καὶ ὀδύνην, Ἀρσένιε μακάριε, τῶν πιστῶς σε εὐφημούντων.

Ὤφθης ὡς ἄγγελος τῷ εἴδει, καὶ φῶς ἔλαμψε τὸ πρόσωπόν σου Πάτερ, ὁπηνίκα Θεῷ, Σιὼν ἐν τῇ ἁγίᾳ, Ἀρσένιε προσέφερες, τὴν ἀναίμακτον θυσίαν.

**Θεοτοκίον.**

Γέγονας κόσμου σωτηρία, σωματώσασα Χριστὸν τὸν Βασιλέα, τὸν ἐκ πλάνης Ἁγνή, ἡμᾶς ἀνακαλοῦντα, καὶ σώζοντα τοὺς ψάλλοντας· Χαῖρε Κεχαριτωμένη.

www.tezaurliturgic.ro



### ᾨδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.

Ἐνταλμάτων τῶν θείων θεοφόρε, πληρωτὴς ἀκριβής, ἐν τῇ ζωῇ σου ὤφθης, καὶ πληρωθεὶς ναμάτων τῶν τῆς χάριτος, ὕδωρ ἰαμάτων, Ἀρσένιε βλύζεις, τοῖς σὲ ὑμνολογοῦσι.

Ρυπωθέντα με σπίλοις ἁμαρτίας, ρυπτικῇ σου σοφέ, ἐκκάθαρον πρεσβείᾳ, καὶ μετανοίας γνώσει με καταύγασον, ἵνα θεαρέστως, Ἀρσένιε ἀνύσω, τὸν τῆς ζωῆς μου χρόνον.

Ἀκηλίδωτον βίον ἐκτελέσας, καὶ Ἁγίων σοφέ, τὰς χάριτας πλουτήσας, ἁγιωσύνης ὤφθης ἐνδιαίτημα, καὶ Ἁγίων δήμοις, Ἀρσένιε συνήφθης, μετὰ τὸ θεῖον τέλος.

### Θεοτοκίον.

Σαρκωθέντα ἐκ σοῦ ἀκαταλήπτως, τὸν τῶν ὅλων Θεόν, ἐκύησας Παρθένε, ὃν ἐκτενῶς ἱκέτευε Πανάμωμε, ἄφεσιν πταισμάτων, δοῦναι ἡμῖν Κόρη, τοῖς σὲ δοξολογοῦσι.

### ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἱέρευσας ὁσίως καὶ εὐσεβῶς, τῷ Δεσπότῃ τῶν ὅλων Ἀρσένιε, ὡς ἱερεύς, ὅσιος καὶ πρᾶος καὶ ταπεινός, καὶ τούτῳ προσενήνοχας, οἱάπερ θυσίαν καὶ προσφοράν, τοῦ βίου σου τὰς πράξεις· ἐντεῦθεν ἐδοξάσθης, σὺν τοῖς Ἁγίοις ὡς ἰσότιμος.

Μονὴν τοῦ Ἀποστόλου ὃν ὁ Χριστός, πλεῖον ἄλλων ἠγάπησεν Ὅσιε, σκέπε ἀεί, καὶ εὐλόγει ἄ-

www.tezaurliturgic.ro



νωθεν νοερῶς, τὴν τὰ σεπτά σου λείψανα, οἷα οὐρανόσδοτον θησαυρόν, Ἀρσένιε πλουτοῦσαν, καὶ ἄγουσαν ἐν πίστει , τὴν ἱεράν σου μνήμην Ἅγιε.

Ὁλόφωτον νυμφῶνα ἐν οὐρανοῖς, κατοικῶν θεοφόρε Ἀρσένιε, καὶ καθορῶν, κάλλος τὸ ἀμήχανον τοῦ Χριστοῦ, καὶ μετοχῇ θεούμενος, τῆς τριλαμπεστάτης μαρμαρυγῆς, τὸν ὕμνον μου προσδέχου, καὶ φῶς μοι θεῖον αἴτει, ταῖς φωτοφόροις ἱκεσίαις σου.

**Θεοτοκίον.**

Ὑπέρφωτε λυχνία χρυσοφαής, χρυσοστόλιστε θρόνε πυρίμορφε, τοῦ ἐκ τῆς σῆς, μήτρας προελθόντος ὑπερφυῶς, Θεοῦ τοῦ Παντοκράτορος, Κεχαριτωμένη Μῆτερ Ἁγνή, ἀνύψωσον τὸν νοῦν μου, παθῶν ἀπὸ κοπρίας, πρὸς μετοχὴν βίου λαμπρότητος.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Ἀσκητικοῖς παλαίσμασιν, ἐν τοῖς ἐσχάτοις ἔτεσι, πρὸς τελειότητος ὕψος, ἤρθης Ἀρσένιε Πάτερ, καὶ τῷ Θεῷ ὡμίλησας, καὶ παρ' αὐτοῦ ἀπείληφας, θαυμάτων χάριν Ἅγιε, ὥσπερ φωτὸς ἀνάπλεως, καὶ τῶν ψυχῶν οἰκονόμος.

**Θεοτοκίον.**

Ἀπειρογάμως τέτοκας, τὸν ἐκ μὴ ὄντων ἅπαντα, λόγῳ ποιήσαντα μόνῳ, Θεογεννήτρια Κόρη, καὶ τῆς φθορᾶς ἀπήλλαξας, τὸ γένος τὸ ἀνθρώπινον· διὸ σὲ μεγαλύνομεν, καὶ τὴν θερμήν σου πρεσβείαν, αἰτούμεθα καθ' ἑκάστην.

www.tezaurliturgic.ro



## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος.

Ὅσιε Πάτερ Ἀρσένιε, τὴν τεθλιμμένην ὁδόν, καὶ στενὴν διὰ πίστεως, ἀκλινῶς ἐβάδισας, οὐρανίῳ φρονήματι, καὶ ὑπεράνω παθῶν γενόμενος, τῆς ἀπαθείας ὤφθης κειμήλιον· ὅθεν τοὺς πόνους σου, ὁ Χριστὸς δεξάμενος, τῆς ὑπὲρ νοῦν, δόξης καὶ λαμπρότητος, σὲ κατηξίωσεν.

Ὅσιε πάτερ Ἀρσένιε, καθαρωτάτῃ ψυχῇ, τῷ Θεῷ ἱεράτευσας, τῷ σὲ ἀναδείξαντι, ἱερέα θεόληπτον, καὶ ὡς θυσίαν αὐτῷ εὐπρόσδεκτον, τῶν ἀρετῶν σου τὰ κατορθώματα, πίστει προσήγαγες· ὅθεν συνηρίθμησαι, θείοις χοροῖς, τῶν Ἁγίων σύσκηνος, τούτων γενόμενος.

Πάτερ θεόφρον Ἀρσένιε, ἀνακαθάρας τὸν νοῦν, ἐγκρατείας τοῖς σκάμμασι, φωτισμοῦ πεπλήρωσαι, δωρεᾶς τῆς τοῦ Πνεύματος, καὶ τῶν θαυμάτων χάριν δεξάμενος, πάθη ποικίλα εὐχῇ ἰάτρευσας· ὅθεν συνόμιλος τῶν Ἀγγέλων γέγονας, ἐν οὐρανοῖς, χάριν ἐξαιτούμενος, ἡμῖν καὶ ἔλεος.

Πάτερ παμμάκαρ Ἀρσένιε, τὴν μακαρίαν ζωήν, ἐν τῷ κόσμῳ διήνυσας, ἀπροσκόπτως Ὅσιε, παριδὼν τὰ ἐπίγεια· ὅθεν πρὸς δόξαν τὴν ὑπερκόσμιον, οἷα θεράπων Χριστοῦ θερμότατος, χαίρων ἀνέδραμες, πάντοτε δεόμενος, ὑπὲρ ἡμῶν, τῶν προσπτυσσομένων σου, τὰ θεῖα λείψανα.

www.tezaurliturgic.ro



**Δόξα.** Ἦχος πλ. δ´.

Τὸ τῆς ἀσκήσεως στάδιον, ἀνενδότῳ γνώμῃ τελέσας, τῆς αἰωνίου ζωῆς τὸ γέρας, ἐπαξίως ἐκομίσω παρὰ Χριστοῦ, Ὅσιε Πάτερ Ἀρσένιε· τῆς γὰρ οἰκείας φύσεως, τὸ ἀσθενὲς ἐρρώνυες, ἐν τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν, ὧν τὰς ἐμφάσεις, μυστικῶς ἐδέχου. Καὶ νῦν τὴν δόξαν θεωρῶν, τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, μὴ παύσῃ δεόμενος Ἅγιε, ρύεσθαι ἡμᾶς τῶν σκανδάλων τοῦ ἐχθροῦ, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν.** Θεοτοκίον.

Τὰ οὐράνια, ὑμνεῖ σε, Κεχαριτωμένη Μῆτερ Ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν· Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro




# Εἰς τὴν θείαν Λειτουργίαν

**Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ στ΄ ᾠδή.**

Ὠδὴ γ΄. Ἦχος πλ. δ΄. **Ὁ στερεώσας κατ᾽ ἀρχάς.**

Ἄρας ἐπ᾽ ὤμων τὸν Σταυρόν, τοῖς ἴχνεσι τοῦ Σωτῆρος, ἐπορεύθης ἀκλινεῖ διανοίᾳ, τὰ ἐν κόσμῳ ὡς φθαρτά, καταλιπὼν Ἀρσένιε, καὶ πρὸς τὴν ἀφθαρσίαν μετὰ σπουδῆς ἐπειγόμενος.

www.tezaurliturgic.ro



Ρήσεις τὰς θείας ἐκπληρῶν, Εὐαγγελίου θεόφρον, συμπαθῶς τοὺς ἀσθενοῦντας ἰᾶσαι, καὶ τοῖς πάσχουσι δεινῶς, παρέχεις ἀνακούφισιν, λόγῳ καὶ ἔργῳ Πάτερ, ὡς μαθητὴς Χριστοῦ γνήσιος.

Συντονωτάταις προσευχαῖς, καὶ ἀγρυπνίαις καὶ πόνοις, ἐγκρατείας θεοφόρε ἐκλάμψας, τῶν ἀφρόνων παιδευτής, καὶ ἅπασιν αἰδέσιμος, Ἀρσένιε ἐδείχθης, δι᾽ ἀρετῆς τελειότητα.

### Θεοτοκίον.

Ἐκ τῆς ἀχράντου σου γαστρός, ὁ Ὑπερούσιος Λόγος, προσλαβὼν τὴν τῶν ἀνθρώπων οὐσίαν, διὰ σπλάγχνα οἰκτιρμῶν, ἐθέωσε τὸν ἄνθρωπον, Παρθένε Θεοτόκε, πάντων βροτῶν τὸ διάσωσμα.

### Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἀνέτειλας ὡς ἀστήρ, ἐκ τῆς Ἑώας νεόφωτος, καταπυρσεύων ἡμᾶς, ἀκτῖσι τοῦ βίου σου, Ἀρσένιε Ὅσιε, καὶ διασκεδάζων, παθημάτων τὴν σκοτόμαιναν.

Συνέσει πνευματικῇ, κατακοσμούμενος Ὅσιε, καθαίρεις ῥύπους ψυχῶν, τῷ λόγῳ τῆς χάριτος, καὶ πᾶσιν Ἀρσένιε, τοῦ Χριστοῦ προφαίνεις, τὴν ἀμέτρητον χρηστότητα.

Μεγάλοις ἐγκαρτερῶν, ἀγῶσι Πάτερ Ἀρσένιε, ἐδείχθης περιφανής, ἐναρέτοις πράξεσι, εὐεργετῶν θαύμασι, καὶ ποικίλοις τρόποις, τοὺς πιστῶς προσερχομένους σοι.

www.tezaurliturgic.ro



### Θεοτοκίον.

Ἐτέχθη ὑπερφυῶς, ἐκ τῶν ἀχράντων αἱμάτων σου, ὁ πάντα ἐκ μηδενός, Κόρη συστησάμενος, καὶ ἡμᾶς ἀνέπλασε, καὶ πρὸς τὴν ἀρχαίαν, ἐπανήγαγε λαμπρότητα.

### Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. **Τὸν συνάναρχον Λόγον.**

Τῶν Ὁσίων τὸν βίον ἐκμιμησάμενος, ἐν ἐσχάτοις τοῖς χρόνοις Πάτερ Ἀρσένιε, ἐπληρώθης δωρεῶν τοῦ θείου Πνεύματος, καὶ θαυμάτων γεγονώς, θεοφόρε αὐτουργὸς, παρέχεις ἑνὶ ἑκάστῳ, τὰς ἐκ Θεοῦ χορηγίας, ταῖς ἱκεσίαις σου πρὸς Κύριον.

Ἕτερον. Ἦχος γ΄. **Θείας πίστεως.**

Βίον ἔνθεον, καλῶς ἀνύσας, σκεῦος τίμιον τοῦ Παρακλήτου, ἀνεδείχθης θεοφόρε Ἀρσένιε, καὶ τῶν θαυμάτων τὴν χάριν δεξάμενος, πᾶσι παρέχεις ταχεῖαν βοήθειαν, Πάτερ Ὅσιε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

### Κοντάκιον.

Ἦχος δ΄. **Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Καππαδοκίας τὸ νεόφυτον ἄνθος, καὶ ἀρετῶν τὸ πολυτίμητον σκεῦος, ὁ ἱερὸς Ἀρσένιος ὑμνείσθω μοι· οὗτος γὰρ ὡς ἄγγελος, ἐν σαρκὶ βιοτεύσας, σύσκηνος ἐγένετο, τῶν Ἁγίων ἁπάντων, μεθ' ὧν πρεσβεύει πάντοτε Χριστῷ, ἡμῖν διδόναι, πταισμάτων συγχώρησιν.

www.tezaurliturgic.ro



**᾿Απόστολος**

**Προκείμενον. Ἦχος βαρύς.**

**Καυχήσονται ὅσιοι ἐν δόξῃ.**

**Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.**

**Πρὸς Γαλάτας ᾿Επιστολῆς Παύλου τὸ ᾿Ανάγνωσμα.**

**᾿Αδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη...**
**(Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖ΄ ῾Εβδομάδος).**

**Εὐαγγέλιον τοῦ ῾Αγίου Σάββα.**
**(Ζήτει τῇ 5ῃ Δεκεμβρίου).**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...**

**Μεγαλυνάριον.**

Χαίροις τῶν ῾Οσίων ὁ μιμητής, καὶ Καππαδοκίας, ἐγκαλλώπισμα ἱερόν· χαίροις ὁ παρέχων, ἑκάστῳ θείαν χάριν, ὡς δοξασθεὶς θεόθεν, Πάτερ ᾿Αρσένιε.

**Δίστιχον.**

**᾿Αρσένιον τὸν νέον ἐν τοῖς ῾Οσίοις**
**Γεράσιμος ὕμνησεν ᾄσμασι θείοις.**



www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ **Κύριε εἰσάκουσον,** μεθ' ὃ τὸ **Θεὸς Κύριος** ὡς συνήθως καὶ τὸ ἑξῆς:

Ἦχος δ'. **Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ἀσκητικῶς εὐαρεστήσας Κυρίῳ, χάριν πλουσίαν παρ' αὐτοῦ ἐκομίσω, τῶν Ἀσωμάτων σύσκηνε Ἀρσένιε· ὅθεν σου δεόμεθα, μὴ ἐλλίπῃς πρεσβεύων, πάσης ἡμᾶς ρύεσθαι, ἐπηρείας καὶ βλάβης, τοὺς τῇ σῇ σκέπῃ σπεύδοντας σοφέ, καὶ τὴν θερμήν σου, αἰτοῦντας ἀντίληψιν.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

www.tezaurliturgic.ro



Ὁ Ν΄. Καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.
«Χάριν μοι δίδου Ὅσιε Πάτερ. Γερασίμου».
Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Χαρὰν κεκτημένος τὴν ἀληθῆ, πάσης ἀθυμίας, καὶ μανίας τοῦ δυσμενοῦς, Ἀρσένιε Πάτερ Θεοφόρε, τοὺς τῇ σῇ σκέπῃ προστρέχοντας λύτρωσαι.

Ἀνέτειλας νέος ὥσπερ ἀστήρ, ἡμᾶς καταυγάζων, τῇ ὁσίᾳ σου βιοτῇ· διὸ τῶν παθῶν ἡμῶν τὸν ζόφον, ταῖς σαῖς πρεσβείαις ἀπέλασον Ὅσιε.

Ῥεόντων ἀπέσχες ὁλοσχερῶς· ἐντεῦθεν φροντίδων, ἀπαλλάττεις ὀδυνηρῶν, τὸν νοῦν τὴν ψυχὴν καὶ τὴν καρδίαν, τῶν προσιόντων σοι Πάτερ Ἀρσένιε.

Θεοτοκίον.

Ἰάτρευσον Κόρη ὡς συμπαθής, τετραυματισμένην, τὴν καρδίαν μου χαλεπῶς, καὶ αἴτει μοι ἄφεσιν πταισμάτων, πρὸς τὸν Υἱόν σου πρεσβείαις τὸν εὔσπλαγχνον.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Νοσημάτων ὡς πάλαι, πολυειδῶν Ὅσιε, πλείστους ἐλυτρώσω ἐντεύξει, τῇ πρὸς τὸν Κύριον, οὕτως ἀπάλλαξον, ἡμᾶς παθῶν ἀκαθάρτων, καὶ πάσης κακώσεως, Πάτερ Ἀρσένιε.

Μεγαλύνας ἐν βίῳ, τὸν τοῦ παντὸς Κύριον, εὔκλειαν μεγίστην ἐκτήσω, Πάτερ Ἀρσένιε· ὅθεν ἐκλύτρωσαι, ἡμᾶς μεγάλων κινδύνων, καὶ τῶν ἐπιθέσεων, τοῦ παναλάστορος.

www.tezaurliturgic.ro



Ο θεράπων Κυρίου, καὶ ἀσκητῶν σύσκηνος, Ὅσιε Ἀρσένιε ταύτην, τὴν Μάνδραν φύλαττε, τῇ ἀντιλήψει σου, τὴν ἐν πολλῇ εὐλαβείᾳ, τοῖς σεπτοῖς λειψάνοις σου, Πάτερ προσπίπτουσαν.

**Θεοτοκίον.**

Ἵνα σώσῃ τὸν κόσμον, ὁ τοῦ παντὸς αἴτιος, σάρκα ἐξ ἁγνῶν σου αἱμάτων, Κόρη προσείληφεν· ὅθεν θεράπευσον, τὸ ἀσθενές μου σαρκίον, καὶ τὸν νοῦν μου λάμπρυνον, φέγγει τῆς χάριτος.

Διάσωσον ταῖς σαῖς πρεσβείαις Ἀρσένιε θεοφόρε, ἀπὸ πάσης ἐπιφορᾶς καὶ κακώσεως, τοὺς τῇ θερμῇ σου προστρέχοντας προστασίᾳ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ...

**Αἴτησις καὶ τὸ Κάθισμα.**

**Ἦχος β΄. Πρεσβεία θερμή.**

Χριστὸν ἐκτενῶς, ἱκέτευε Ἀρσένιε, διδόναι ἡμῖν, πταισμάτων τὴν συγχώρησιν, καὶ παθῶν τὴν ἴασιν, καὶ ὑγείαν ψυχῆς τε καὶ σώματος, καὶ πολιτείας σεμνῆς προκοπήν, ὡς ἂν θείας δόξης ἐπιτύχωμεν.

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.**

Δωρεαῖς θείου Πνεύματος, καταλαμπρυνόμενος Πάτερ Ὅσιε, δωρεὰν ἡμᾶς οἰκτείρησον, καὶ τῆς συνεχούσης ῥῦσαι θλίψεως.

Ἰσχὺν θείαν Ἀρσένιε, τῇ ἐξασθενούσῃ ψυχῇ μου αἴτησαι, ὡς ἂν πάσης περιγίνωμαι, πλάνης καὶ ἀπάτης τοῦ ἀλάστορος.

www.tezaurliturgic.ro



Δαιμονῶντας ὡς ἔσωσας, ἐκ τῆς δυναστείας τοῦ πολεμήτορος, οὕτω λύτρωσαι Ἀρσένιε, καὶ ἡμᾶς τῶν τούτου ἐπιθέσεων.

**Θεοτοκίον.**

Ὄρος θεῖον καὶ σύσκιον, ὤφθης Θεοτόκε πλουσίαις χάρισιν, ἐξ οὗ κόσμῳ ἐπεδήμησεν, ὁ Σωτὴρ καὶ ἔσωσε τὸν ἄνθρωπον.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ὕψωσον ἡμῶν, τὴν καρδίαν Πάτερ Ὅσιε, πρὸς ἀγάπην τὴν τελείαν τοῦ Χριστοῦ, ἐν εἰρήνῃ κυβερνῶν ἡμᾶς Ἀρσένιε.

Ὄμβροις μυστικοῖς, πρεσβειῶν σου πρὸς τὸν Κύριον, ἐναπόσβεσον τὴν φλόγα τῶν παθῶν, τὴν συντήκουσαν ἡμᾶς Πάτερ Ἀρσένιε.

Σύντριψον σοφέ, τοῦ ἐχθροῦ τὰ μηχανήματα, ἀβλαβῆ ἐκ τῆς αὐτοῦ ἐπιβουλῆς, διασῴζων τὴν Μονὴν ταύτην δεόμεθα.

**Θεοτοκίον.**

Ἴθυνον ἡμᾶς, πρὸς ζωὴν Παρθένε κρείττονα, ἐναπείργουσα ἐχθροῦ τὰς προσβολάς, καὶ παρέχουσα εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Ἐδέξω, παρὰ Θεοῦ Ἀρσένιε, τῶν θαυμάτων τὴν σωτήριον χάριν· ὅθεν ἰᾶσαι ψυχῶν καὶ σωμάτων, τὰ ἀρρωστήματα πάντα ἑκάστοτε, ἐξ ὧν με τήρει ἀσινῆ, τὸν προσφεύγοντα Πάτερ τῇ σκέπῃ σου.

www.tezaurliturgic.ro



Παθῶν μου, τὴν χαλεπὴν τρικυμίαν, τῇ γαλήνῃ τῆς θερμῆς σου πρεσβείας, εἰς ἠρεμίαν μετάβαλε Πάτερ, καὶ πρὸς λιμένα τοῦ θείου θελήματος, ὁδήγησόν με ἀσφαλῶς, παρρησίαν ὡς ἔχων πρὸς Κύριον.

Ἁγίων, ἠριθμημένος χορείᾳ, ὡς ἁγίως διανύσας τὸν βίον, ἁγιασμὸν καὶ χαρὰν καὶ εἰρήνην, ταύτῃ τῇ Μάνδρᾳ ἐξαίτει Ἀρσένιε, τῇ ὥσπερ θεῖον θησαυρόν, κεκτημένῃ τὰ θεῖά σου λείψανα.

## Θεοτοκίον.

Τὸν πάντων, Δημιουργὸν καὶ Σωτῆρα, ἐκ γαστρός σου τῆς ἀχράντου τεκοῦσα, σῶσόν με Κόρη ἐχθροῦ τῆς μανίας, καὶ τείχισόν με τῷ φόβῳ τοῦ Κτίσαντος, ἵνα βαδίσω ἀκλινῶς, τὴν ὁδὸν τοῦ ἁγίου θελήματος.

Διάσωσον ταῖς σαῖς πρεσβείαις Ἀρσένιε Θεοφόρε, ἀπὸ πάσης ἐπιφορᾶς καὶ κακώσεως, τοὺς τῇ θερμῇ σου προστρέχοντας προστασίᾳ.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον...

## Αἴτησις καὶ τὸ Κοντάκιον.

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Τῇ σῇ ἀσκήσει δοξάσας τὸν Κύριον, τῆς παρ᾽ αὐτοῦ θείας δόξης ἠξίωσαι· διὸ ἀδοξίας ἀπάλλαξον, φθοροποιῶν παθημάτων καὶ θλίψεων, ἡμᾶς θεοφόρε Ἀρσένιε.

## Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

www.tezaurliturgic.ro



**Εὐαγγέλιον.**

**Ἐκ τοῦ κατὰ Ματθαῖον.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

**Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Προσόμοιον.**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

**Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...**

Ἄστρον ὡς νεόφωτον, ἐκ τῆς Ἑῴας ἐκλάμψας, ἀρετῶν λαμπρότησι, καταυγάζεις ἅπαντας τοὺς τιμῶντάς σε· διὸ νῦν Ὅσιε, πάσης ἐπηρείας, τοῦ ἐχθροῦ τοῦ πολεμήτορος, καὶ πάσης θλίψεως, καὶ πολυειδῶν περιστάσεων, καὶ νόσων καὶ κακώσεων, ταῖς σαῖς ἱκεσίαις πρὸς Κύριον, φύλαττε ἀτρώτους, Ἀρσένιε θεράπον τοῦ Χριστοῦ, τοὺς τοῖς ἁγίοις λειψάνοις σου, εὐλαβῶς προσπίπτοντας.

**Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...**

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἐν θερμῇ διανοίᾳ, προσελθοῦσαι γυναῖκες αἱ στεῖραι πρότερον, τοῖς θείοις σου λειψάνοις, ἐ-

www.tezaurliturgic.ro



γένοντο μητέρες, ἐπὶ τέκνοις γηθόμεναι, τῇ ἀντιλήψει τῇ σῇ, Ἀρσένιε τρισμάκαρ.

Ρυπτικῇ σου πρεσβείᾳ, τῆς ψυχῆς μου τοὺς μώλωπας ἀποκάθαρον, καὶ δίδου ἀφορμάς μοι, γνησίας μετανοίας, ὡς θερμὸς ἀντιλήπτωρ μου, Ἀρσένιε ἱερέ, Ἀγγέλων συμπολῖτα.

Γέρας κέκτηται θεῖον, ἡ Μονὴ Θεολόγου Πάτερ Ἀρσένιε, τὰ θεῖα λείψανά σου, οἷς πίστει προσιοῦσα, θείαν χάριν κομίζεται, καὶ οὐρανίου χαρᾶς, πληροῦται ἀοράτως.

### Θεοτοκίον.

Ἐφαπλώσασα Κόρη, ἐφ' ἡμᾶς τῆς σῆς σκέπης χάριν τὴν ἄφθονον, ἀπόστρεψον εἰς τέλος, ἐχθροῦ τοῦ βροτοκτόνου, ἀφ' ἡμῶν δόλον ἅπαντα, καὶ καθοδήγει ἡμᾶς, πρὸς τρίβον σωτηρίας.

### Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ῥάβδῳ ἁγίᾳ, ἐπισκοπῆς σου τῆς θείας, ὥσπερ πρόβατα ὁδήγει ἡμᾶς Πάτερ, πρὸς ἀθανασίας, τοὺς μυστικοὺς λειμῶνας.

Ἄνωθεν ἴδε, τοὺς εὐλαβῶς παρεστῶτας, τοῖς λειψάνοις σου καὶ δίδου τούτοις Πάτερ, τῆς σῆς βοηθείας, τὰς δαψιλεῖς ἐκφάνσεις.

Σκέπε ἀπαύστως, τῇ πατρικῇ ἀρωγῇ σου, ταύτην Ἅγιε Μονὴν τοῦ Θεολόγου, πίστει προσιοῦσαν, τοῖς θείοις σου λειψάνοις.

www.tezaurliturgic.ro



### Θεοτοκίον.

Ἴασαι Κόρη, τὴν ἀσθενοῦσαν ψυχήν μου, καὶ παράσχου μοι δάκρυα μετανοίας, ἵνα σε δοξάζω τὴν Κεχαριτωμένην.

### Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Μανίας πάσης ρύου, ἐχθρῶν ἀοράτων, καὶ ὁρατῶν θεοφόρε Ἀρσένιε, ταύτην τὴν ποίμνην ἐν πίστει σε μεγαλύνουσαν.

Ὁσίοις συγχορεύων, σὺν αὐτοῖς δυσώπει, ὑπὲρ ἡμῶν θεοφόρε Ἀρσένιε, τῶν ἀνυμνούντων τὰ θεῖά σου προτερήματα.

Ὕμνων σὺν τοῖς Ἀγγέλοις, ἤδη ἐν ὑψίστοις, τὸν ἐν Τριάδι Θεὸν Πάτερ Ὅσιε, ἀεὶ δυσώπει σωθῆναι τοὺς σὲ γεραίροντας.

### Θεοτοκίον.

Ὑμνοῦμέν σε Παρθένε, ὡς Θεοῦ Μητέρα, καὶ ἀσιγήτως τὸ Χαῖρε βοῶμέν σοι· τῇ γὰρ πρεσβείᾳ σου Κόρη ἀεὶ σωζόμεθα.

### Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.

Χαίροις τῶν Ὁσίων ὁ κοινωνός, διὰ πολιτείας, καὶ ἀσκήσεως ἱερᾶς· χαίροις Μοναζόντων, καὶ Ἱερέων κλέος, Καππαδοκίας δόξα, Πάτερ Ἀρσένιε.

Πόνοις ἐναρέτου Πάτερ ζωῆς, σεαυτὸν καθάρας, φρονημάτων τῶν γεηρῶν, ἐκ Θεοῦ ἐδέξω, τὴν χάριν τῶν θαυμάτων, Ἀρσένιε ἐκφαίνων, πᾶσι τὰ κρείττονα.

www.tezaurliturgic.ro



Πάθη ἐθεράπευσας χαλεπά, καὶ δαιμόνων Πάτερ, ἐταπείνωσας τὴν ἰσχύν, ὧν τῆς ἐπηρείας, ἀτρώτους ἡμᾶς τήρει, ὡς ἔχων παρρησίαν, Χριστῷ Ἀρσένιε.

Χαίρων τὸν ἀγῶνα τῆς ἀρετῆς, ὑπῆλθες θεόφρον, οὐρανόφρονι λογισμῷ, καὶ τῆς ἀπαθείας, τὰς χάριτας ἐδρέψω, Ἀγγέλων συμπολῖτα, Πάτερ Ἀρσένιε.

Φύλαττε καὶ σκέπε πάσης ὀργῆς, τὴν τοῦ Ἰωάννου, Θεολόγου θείαν Μονήν, πίστει προσκυνοῦσαν, τὰ λείψανά σου Πάτερ, καὶ ἐπιβοωμένην τὴν προστασίαν σου.

Δίδου εὐλογίαν τὴν πατρικήν, καὶ ἔνθεον ζῆλον, πρὸς ἀγῶνας πνευματικούς, τῇ χορείᾳ Πάτερ, Μοναζουσῶν καὶ ταύτας, Ἀρσένιε παγίδων ρύου τοῦ ὄφεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...

**Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ ἑξῆς:**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου...**

Πάντας τοὺς προσπίπτοντας πιστῶς, τῇ σορῷ τῶν θείων λειψάνων, τῶν σῶν Ἀρσένιε, πάσης περιστάσεως, ρῦσαι καὶ θλίψεως, καὶ σκανδάλων ἀλώβητον, ταύτην διατήρει, τὴν Μονὴν δεόμεθα, τῇ ἀντιλήψει σου, αἴτει δὲ πταισμάτων τὴν λύσιν, καὶ ἀπαλλαγὴν πάσης νόσου, τοῖς τὰς ἀρετάς σου μακαρίζουσι.

Δέσποινα πρόσδεξαι...
Τὴν πᾶσαν ἐλπίδα μου...

**Δίστιχον**

**Ἀρσένιε δέησιν πρόσδεξαι τήν δε**
**Καὶ δίδου τὴν Χάριν σου τῷ Γερασίμῳ.**

www.tezaurliturgic.ro

*Φωτοστοιχειοθεσία — Ἐκτύπωση Ὄφσετ «ΝΕΑ ΣΤΟΙΧΕΙΟΘΕΤΙΚΗ»*
*Ἀχελώου 6 — Τηλ. (031) 542.940 - 522.503 — ΘΕΣΣΑΛΟΝΙΚΗ*

*Π. Γιαννούλης - Κ. Τσολερίδης*

www.tezaurliturgic.ro

*Φωτογραφία ὀπισθοφύλλου*

---

*Ὁ Ἱερὸς Ναὸς τῶν Ἁγίων Βαραχησίου καὶ Ἰωνᾶ τῶν Φαράσων, ὅπου λειτουργοῦσε ὁ Ἅγιος Ἀρσένιος, στὴ σημερινή του κατάσταση, στὰ χέρια τῶν Τούρκων.*

www.tezaurliturgic.ro

